AB

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-574221-p0001-6



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-574221-p0002-2

# GREGORII NAZIANZENI De SANCTA PENTECOSTE Oratio

IN

*USUM SCHOLÆ*

Hannoveranæ.

Rintelij,

Typis exscripsit Petrus Lucius, Typ. Acad.

Sumtu Christophori Ulrichs Bibl. Hannoverani,

Anno 1643.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-574221-p0003-8

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΕΝΤΗΚΟΣΤΗΝ.

ΠΕΡΙ τῆς ἑορτῆς βραχέα φιλοσοφήσωμεν, ἵνα πνευματικῶς ἑορτάσωμεν. Ἄλλη μὲν γὰρ ἄλλω πανήγυρις τῷ θεραπευτῇ τοῦ λόγου δὲ ὁ λόγος, καὶ λόγων ὁ τῷ καιρῷ προσφορώτατος. καὶ οὐδὲν οὕτως εὐφραίνει καλὸν τῶν φιλοκάλων οὐδένα ὡς τὸ πανηγυρίζειν πνευματικῶς τὸν φιλέορτον. Σκοπῶμεν δὲ οὕτως, ἑορτάζει καὶ ἰουδαῖος ἀλλὰ κατὰ τὸ γράμμα. τὸ γὰρ σωματικὸν διώκων, εἰς τὸν πνευματικὸν νόμον οὐκ ἔφθασεν.

ἑορτάζει καὶ Ἕλλην, ἀλλὰ κατὰ τὸ σῶμα, καὶ τοὺς ἑαυτοῦ θεούς τε καὶ δαίμονας, ὧν οἱ μὲν εἰσὶ παθῶν δημιουργοὶ κατ' αὐτοὺς ἐκείνους, οἱ δὲ ἐκ παθῶν ἐτιμήθησαν. Διὰ τοῦτο ἐμπαθὲς αὐτῶν καὶ τὸ ἑορτάζειν, ἵν' ᾖ τιμὴ Θεοῦ τὸ ἁμαρτάνειν, πρὸς ὃν καταφεύγει τὸ πάθος ὡς σεμνολόγημα. Ἑορτάζομεν καὶ ἡμεῖς, ἀλλ' ὡς δοκεῖ τῷ πνεύματι, δοκεῖ δέ, ἢ λέγοντάς τι τῶν δεόντων ἢ πράττοντας. Καὶ τοῦτό ἐστι τὸ ἑορτάζειν ἡμῶν, ψυχῇ τεθησαυρεῖσαι τῶν ἑστώτων καὶ κρατουμένων ἀλλὰ μὴ τῶν ἀποχωρούντων καὶ λυομένων, καὶ μικρὰ σαινόντων τὴν αἴσθησιν, τὰ πλείω δὲ λυμαινομένων τε καὶ βλαπτόντων. Κατά γε τὸν ἐμὸν λόγον. Ἀρκετὸν γὰρ τῷ σώματι ἡ κακία αὐτοῦ. Τί δὲ δεῖ τῇ φλογὶ πλείονος ὕλης, ἢ τῷ θηρίῳ δαψιλεστέρας τροφῆς· ἵνα μᾶλλον δυσκάθεκτον γένηται, καὶ τοῦ λογισμοῦ βιαιότερον. Διὰ ταῦτα μέν, οὖν ἑορταστέον πνευματικῶς.

Ἀρχὴ δὲ τοῦ λόγου· Ῥητέον γάρ, εἰ μικρόν τι παρεκβατικώτερος ἡμῖν ὁ λόγος καὶ φιλοπονητέον τοῖς φιλολόγοις· ἵν' ὥσπερ ἡδύσματι τῇ πανηγύρει συγκατα-

„ vide Plut. 9. Conviv. q. 4. p. 1315.



μίζωμεν τὴν ἑβδομάδα" τιμῶσιν Ἑ-
βραίων παῖδες, ἐκ τῆς ΜΩΣΕΩΣ
νομοθεσίας, ὥσπερ πυθαγορικοὶ τὴν τετρα-
κτὺν ὕστερον, ἣν δὴ καὶ ὅρκον πεποίηνται καὶ
τὴν ὀγδοάδα καὶ τριακάδα οἱ ἀπὸ Σίμω-
νος καὶ Μαρκίωνος οἷς δὴ καὶ ἰσαρίθμους
τινὰς αἰῶνας ἐπονομάζουσι καὶ τιμῶσιν,
οὐκ οἶδα μὲν οἷς τισι λόγοις ἀναλογίας,
ἢ κατά τινα τοῦ ἀριθμοῦ τούτου δύναμιν. Τι-
μῶσι δ' οὖν τὸ μὲν πρόδηλον, ὅτι ἐν ἕξ, ἡ-
μέραις ὁ θεὸς τὴν ὕλην ὑποστήσας τε καὶ
μορφώσας καὶ διακοσμήσας παντοίοις εἴδε-
σι καὶ συγκρίμασι, καὶ τὸν νῦν ὁρώμενον τοῦ-
τον κόσμον ποιήσας, τῇ ἑβδόμῃ καταπαύει
ἀπὸ τῶν ἔργων. ὡς δηλοῖ καὶ ἡ τοῦ σαββάτου
προσηγορία, κατάπαυσιν ἑβραϊκῶς σημαί-
νουσα. Εἰ δέ τις καὶ ὑψηλότερος περὶ ταῦτα
λόγος, ἄλλοι φιλοσοφείτωσαν. ἡ τιμὴ
δὲ αὐτοῖς οὐκ ἐν ἡμέραις μόνον, ἀλλὰ καὶ
εἰς ἐνιαυτοὺς φθάνουσα. ἡ μὲν οὖν τῶν ἡμε-
ρῶν; τὸ σάββατον. τοῦτο δὴ τὸ συνεχῶς
παρ' αὐτοῖς τιμώμενον. καθὸ καὶ ἡ τῆς
ζύμης ἄρσις ἰσάριθμος, ἡ δὲ τῶν ἐτῶν ὁ ἑβ-
δοματικὸς τῆς ἀφέσεως, καὶ οὐκ ἐν ἑβ-

δομάσι μόνον ἀλλὰ καὶ ἐν ἑβδομάσιν ἑβδομάδων, ὁμοίως ἔν τε ἡμέραις καὶ ἔτεσιν. αἱ μὲν οὖν τῶν ἡμερῶν ἑβδομάδες, γεννῶσι τὴν πεντηκοστὴν, κλητὴν, ἁγίαν παρ' αὐτοῖς ἡμέραν.

Αἱ δὲ τῶν ἐτῶν, τὸ Ἰωβηλαῖον παρ' αὐτοῖς ὀνομαζόμενον, ὁμοίως γῆς τε ἄφεσιν ἔχοντα καὶ δούλων ἐλευθερίαν, καὶ κτήσεων ὠνητῶν ἀναχώρησιν. καθιεροῦσι γὰρ οὐ γεννημάτων μόνον οὐδὲ πρωτοτόκων ἀλλ' ἤδη καὶ ἡμερῶν καὶ ἐτῶν ἀπαρχὰς τῷ θεῷ τοῦτο τὸ γένος. οὕτως ὁ ἑπτὰ τιμώμενος ἀριθμὸς τὴν τιμὴν τῆς πεντηκοστῆς συνεισήγαγεν. ὁ γὰρ ἑπτὰ ἐπὶ ἑαυτὸν συντιθέμενος, γεννᾷ τὸν πεντήκοντα, μιᾶς δεούσης ἡμέρας, ἣν ἐκ τοῦ μέλλοντος αἰῶνος προσειλήφαμεν, ὀγδόην τε οὖσαν τὴν αὐτὴν καὶ πρώτην, μᾶλλον δὲ μίαν καὶ ἀκατάλυτον. Δεῖ γὰρ ἐκεῖσε καταλῆξαι τὸν ἐνταῦθα σαββατισμὸν τῶν ψυχῶν, ὡς δοθῶσι μερίδα τῆς ἑπτὰ καί γε τῆς ὀκτώ: καθὼς ἤδη τινὲς τῶν πρὸ ἡμῶν τὸ Σολομώντειον ἐξειλήφασι. τῆς δὲ τοῦ ἑ-

Eccle-siast. 11. 2.

ἑπτὰ

πτὰ τιμῆς πολλὰ μὲν τὰ μαρτύρια, ὀλίγα
δὲ ἐκ πολλῶν ἡμῖν ἀρκέσει, ὡς ἑπτὰ μὲν
ὀνομαζόμενα τίμια πνεύματα. τὰς γὰρ
ἐνεργείας οἶμαι τοῦ πνεύματος, πνεύματα
φίλον τῷ ἠσαΐᾳ καλεῖν. κεκαθαρμένα Eſa. 11. 2
δὲ τὰ λόγια τοῦ κυρίου κατὰ τὸν Δαβὶδ Pſ. 12. 7.
ἑπταπλασίως, καὶ ὁ μὲν δίκαιος ἑξάκις μὲν Iob. 5.
ἐξ ἀναγκῶν ἐξαιρούμενος ἐν δὲ τῷ ἑβδό- 19.
μῳ μηδὲ πληττόμενος. ὁ δὲ ἁμαρτωλὸς Mat. 18
οὐχ ἑπτάκις μόνον, ἀλλὰ καὶ ἑβδομηκοντά- 22.
κις ἑπτὰ συγχωρούμενος. καὶ μέντοι πάλιν
ἐκ τῶν ἐναντίων, (ἐπαινετὴ γὰρ καὶ ἡ τῆς
κακίας κόλασις) κάϊν μὲν ἐκδικούμενος ἑ- Gen. 4.
πτάκις, τουτέστι δίκας εἰσπραττόμενος τῆς 24.
ἀδελφοκτονίας. ὁ δὲ Λάμεχ ἑβδομηκον-
τάκις ἑπτὰ, ὅτι φονεὺς ἦν μετὰ τὸν νόμον
καὶ τὸ κατάκριμα. οἱ δὲ πονηροὶ γείτονες Pſ. 79. 12.
ἑπταπλασίονα εἰς τὸν κόλπον ἀπολαμ-
βάνοντες, ἑπτὰ δὲ στύλοις ὁ τῆς σοφίας οἶ- Pr. 9. 1.
κος ὑπερειδόμενος. τοσούτοις δὲ ὀφθαλ-
μοῖς ὁ τοῦ Ζοροβάβελ λίθος κοσμούμε- Zach. 3. 9.
νος. Ἑπτάκις δὲ τῆς ἡμέρας ὁ θεὸς αἰ- Pſ. 119.
νούμενος, καὶ μὴν καὶ στεῖρα τίκτου- 164. 1. Sam.
σα. ἑπτὰ τὸν τέλειον ἀριθμὸν ἢ 11. 5.

τῆς ἀτελοῦς ἐν τέκνοις ἀντίθετος. Εἰ δὲ
Gen.5. δεῖ καὶ τὰς παλαιὰς ἱστορίας σκοπεῖν, εἰ
24. ἐννοῶ μὲν τὸν ἕβδομον ἐν προγόνοις. Ἐνὼχ
τῇ μεταθέσει τετιμημένον. Ἐννοῶ δὲ τὸν
Gen.11. εἰκοστὸν πρῶτον, ἀβραὰμ τῇ πατριαρ-
26. χίᾳ δεδοξασμένον, μυστηρίου προσθήκη
μείζονος. τριαθουμένη γὰρ ἑβδομὰς τὸν
ἀριθμὸν τοῦτον ἐργάζεται. τολμήσειε δ'
ἂν τις τῶν πανταneανικῶν καὶ ἐπὶ τὸν νέ-
ον ἀδὰμ ἐλθεῖν τὸν Θεόν μου, καὶ κύριον
Ἰησοῦν Χριστὸν, ἀπὸ τοῦ παλαιοῦ καὶ τοῦ
ὑπὸ τὴν ἁμαρτίαν ἀδάμ ἑβδομηκοστὸν
Luc.23. ἕβδομον ἀριθμούμενος κατὰ τὴν τοῦ Λου-
3. κᾶ γενεαλογίαν ἀναποδίζουσαν. Ἐννοῶ
Ios.6.15 δὲ καὶ τὰς ἑπτὰ σάλπιγγας Ἰησοῦ τοῦ Να-
υὶ καὶ περιόδους τοσαύτας καὶ ἡμέρας καὶ ἱε-
ρέας, ἐξ ὧν τὰ Ἱεριχοῦντια τείχη κατα-
σείεται, ὥσπερ δὲ μυστικὴν τὴν τρισσὴν
1.Reg. ἐμφύσησιν ἡλίου τοῦ προφήτου, τῷ τῆς σα-
17.21. ρεφθίας χήρας ἱρῷ τὸ ζῆν ἐμπνεύσασαν, καὶ
1.Reg. τοῦ αὐτοῦ τὴν ἰσάριθμον κατὰ τῶν σχι-
18.34. δάκων ἐπίκλισιν ἡνίκα πυρὶ θεοπέμπτῳ
τὴν θυσίαν ἀνάλωσε, καὶ τοὺς τῆς αἰ-

σχύνης προφήτας κατέκρινε, τὸ ἴσον οὐ δυ-
νηθέντας ἐκ τῆς προκλήσεως, οὕτω δὲ καὶ
τὴν ἑβδόμην κατασκοπὴν τοῦ νέφους τῷ 1.Reg. 18.43.
παιδαρίῳ προστεταγμένην, Ελισσαῖόν τε 2.Reg. 4.35.
τὴν ἴσην διάκαμψιν ἐπὶ τὸν παῖδα τῆς
σουναμίτιδος τὴν πνοὴν ζωπυρήσασαν.
τοῦ δὲ αὐτοῦ οἶμαι δόγματος, ἵνα μὴ λέγω
τὸν ἑπτάκαυλον καὶ ἑπτάλυχνον τοῦ ναοῦ Ex.25.
λυχνίαν ἐν ἑπτὰ μὲν ἡμέραις ἱερεὺς τελειού- 31.
μενος, ἐν ἑπτὰ δὲ ὁ λεπρὸς καθαιρόμενος, Ex. 29. 35.
ἐν τοσαύταις δὲ ὁ ναὸς ἐγκαινοτόμενος. Lev.13.
ἑβδομηκοστῷ δὲ ἔτει ὁ λαὸς ἐκ τῆς αἰχ- 5.
μαλωσίας ἐπαναγόμενος. ἵν' ὅπερ ἐστὶν 1.Reg.8 65.
ἐν μονάσι τοῦτο ἐν δεκάσι γένηται. Καὶ Ierem.
ἀριθμῷ τελειοτέρῳ τὸ τῆς ἑβδομάδος 25.11.
τιμηθῇ μυστήριον. τί μοι τὰ πόῤῥω λέ-
γειν; ΙΗΣΟΥΣ αὐτὸς ἡ καθαρὰ τε-
λειότης, οἶδε τρέφειν μὲν ἐν Ἐρημίᾳ καὶ Iohan.
πέντε ἄρτοις πεντακισχιλίους, οἶδε δὲ ἑ- 6.9.
πτὰ πάλιν τετρακισχιλίους. Καὶ τὰ τοῦ Marc. 8.5.
κόρου λείψανα ἐκεῖ μὲν δώδεκα κόφινοι, ἐν-
ταῦθα δὲ σπυρίδες ἑπτά. οὐδέτερον ἀλό-
γως οἶμαι οὐδὲ ἀναξίως τοῦ πνεύματος.

καὶ σὺ δ' ἂν κατὰ σαυτὸν ἀναλεγόμενος, πολλοὺς τηρήσαις ἀριθμούς, ἔχοντάς τι τοῦ φαινομένου βαθύτερον. ὃ δὲ τῷ παρόντι καιρῷ χρησιμώτατον, ὅτι κατὰ τούτους ἴσως τοὺς λόγους ἢ ὅτι ἐγγύτατα τούτων, ἢ καὶ θεωτέρους τινὰς τιμῶσι μὲν ἑβραῖοι τὴν πεντηκοστὴν ἡμέραν. τιμῶμεν δὲ καὶ ἡμεῖς, ὥσπερ ἐστὶν ἃ καὶ ἄλλα τῶν ἑβραϊκῶν τυπικῶς μὲν παρ' ἐκείνοις τελούμενα, μυστικῶς δὲ ἡμῖν ἀποκαθιστάμενα. τοσαῦτα περὶ τῆς ἡμέρας προδιαλεχθέντες, ἐπὶ τὸ ἑξῆς τοῦ λόγου προΐωμεν.

Πεντηκοστὴν ἑορτάζομεν, καὶ πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν, καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον; τὰ μὲν σωματικὰ τοῦ Χριστοῦ πέρας ἔχει, μᾶλλον δὲ τὰ τῆς σωματικῆς ἐπιδημίας. ὀκνῶ γὰρ εἰπεῖν τὰ τοῦ σώματος, ἕως ἂν μηδεὶς πείθῃ με λόγος, ὅτι κάλλιον ἀπεσκευάσθαι τοῦ σώματος, τὰ δὲ τοῦ πνεύματος, ἄρχεται. τίνα δὲ ἦν τὰ τοῦ Χριστοῦ; παρθένος, γένεσις, φάτνη, σπαργάνωσις, ἄγγελοι δοξάζοντες

ζοντες, ποιμένες περιτρέχοντες, ἀστὴρ προ-
δρόμος, μάγων προσκύνησις καὶ δωρο-
φορία, ἡρώδου παιδοφονία, φεύγων Ἰησοῦς
εἰς Αἴγυπτον, ἐπανιὼν ἐξ αἰγύπτου, περιτε-
μνόμενος, βαπτιζόμενος, μαρτυρούμενος ἄ-
νωθεν πειραζόμενος, λιθαζόμενος δι' ἡμᾶς
οἷς τύπον ἔδει δοθῆναι τῆς ὑπὲρ τοῦ λόγου,
κακοπαθείας, προδιδόμενος, προσηλούμε-
νος, θαπτόμενος ἀνιστάμενος, ἀνερχόμενος,
ὧν καὶ νῦν πάσχει πολλὰ παρὰ μὲν τῶν μι-
σοχρίστων, τὰ τῆς ἀτιμίας, καὶ φέρει. μακρό-
θυμος γάρ. παρὰ δὲ τῶν φιλοχρίστων τὰ
τῆς ἐπιτιμίας, καὶ ἀναβάλλεται, ὥσπερ ἐκεί-
νοις τὴν ὀργὴν οὕτως ἡμῖν τὴν χρηστότητα.
τοῖς μὲν ἴσως μετανοίας διδοὺς καιρὸν ἡμῶν
δὲ δοκιμάζων τὸν πόθον, εἰ μὴ ἐκκακοῦμεν ἐν
ταῖς θλίψεσι, καὶ τῆς ὑπὲρ εὐσεβείας ἀγῶ-
σιν. ὥσπερ ἄνωθεν θείας οἰκονομίας λόγος καὶ
τῶν ἀνεφίκτων αὐτοῦ κριμάτων, οἷς εὐθηνεῖ
σοφῶς τὰ ἡμέτερα, τὰ μὲν δὴ χριστοῦ τοι-
αῦτα, καὶ τὰ ἑξῆς ὀψόμεθα ἐνδοξότερα καὶ ὀφ-
θείημεν. τὰ δὲ τοῦ πνεύματος, παρέστω μοι τὸ
πνεῦμα, καὶ διδότω λόγον, ὅσον καὶ βούλομαι
εἰ δὲ μὴ τοσοῦτον, ὅσος γε τῷ καιρῷ σύμμε-
τρος. πάντως παρέσται δεσποτικῶς ἀλλ'

οὐ

οὐ δουλικῶς, οὐδ' ἀναμένον ἐπίταγμα ὥς τινες οἴονται· πνεῖ γὰρ ὅπου θέλει, καὶ ἐφ' οὓς βούλεται, καὶ ἡνίκα καὶ ὅσον. οὕτως ἡμεῖς δὲ νοεῖν καὶ λέγειν ἐμπνεόμεθα παρὰ τοῦ πνεύματος. τὸ πνεῦμα τὸ ἅγιον, οἱ μὲν εἰς κτίσμα κατάγοντες, ὑβρισταὶ καὶ δοῦλοι κακοὶ, καὶ κακῶν κάκιστοι. δούλων γὰρ κακῶν ἀθετεῖν δεσποτείαν, καὶ ἐπανίστασθαι κυριότητι, καὶ ὁμόδουλον ποιεῖν ἑαυτοῖς τὸ ἐλεύθερον. Οἱ δὲ θεὸν νομίζοντες ἔνθεοι καὶ λαμπροὶ τὴν διάνοιαν. οἱ δὲ καὶ ὀνομάζοντες εἰ μὲν εὐγνώμοσιν, ὑψηλοί.

Εἰ δὲ ταπεινοῖς οὐκ οἰκονομικοὶ πηλῷ μαργαρίτην πιστεύοντες, καὶ ἀκοῇ σαθρᾷ, βροντῆς ἦχον, καὶ ὀφθαλμοῖς ἀσθενεστέροις ἥλιον, καὶ τροφὴν στερεὰν τοῖς ἔτι γάλα ποτιζομένοις. δέον κατὰ μικρὸν προάγειν αὐτοὺς εἰς τὸ ἔμπροσθεν, καὶ προβιβάζειν τοῖς ὑψηλοτέροις, φωτὶ φῶς χαριζομένους, καὶ ἀληθείᾳ προξενοῦντας ἀλήθειαν. διὸ καὶ ἡμεῖς τὸν τελεώτερον τέως ἀφέντες λόγον, οὔπω γὰρ καιρὸς, αὐτοῖς διαλεξόμεθα.

Εἰ μὲν οὐδὲ ἄκτιστον, ὦ οὗτοι, ὁμολογεῖτε τὸ πνεῦμα τὸ ἅγιον, οὐδὲ ἄχρονον, τοῦ ἐναντίου πνεύματος σαφῶς ἡ ἐνέργεια. δότε γὰρ τῷ ζήλῳ τι καὶ παρατολμῆσαι μικρὸν. Εἰ δὲ τοσοῦτον γ᾽ οὖν ὑγιαίνετε, ὥστε τὴν πρόδηλον φεύγειν ἀσέβειαν, καὶ τῆς δουλείας ἔξω τιθέναι. τὸ καὶ ἡμᾶς ποιοῦν ἐλευθέρους, τὸ ἑξῆς αὐτοὶ σκέψασθε μετὰ τοῦ ἁγίου πνεύματος καὶ ἡμῶν. πείθομαι γὰρ ποσῶς, τούτου μετέχειν ὑμᾶς καὶ ὡς οἰκείοις ἤδη συνδιασκέψομαι. ἢ δότε μοὶ τὸ μέσον δουλείας καὶ δεσποτείας, ἵν᾽ ἐκεῖ θῶ τὴν ἀξίαν τοῦ πνεύματος, ἢ τὴν δουλείαν φεύγοντες οὐκ ἄδηλον, ὅποι τάξετε τὸ ζητούμενον. ἀλλὰ ταῖς συλλαβαῖς δυσχεραίνετε καὶ προσπταίετε τῇ φωνῇ. καὶ λίθος προσκόμματος ὑμῖν τοῦτο γίνεται καὶ πέτρα σκανδάλου, ἐπεὶ καὶ ΧΡΙΣΤΟΣ τισὶν. ἀνθρώπινον τὸ πάθος. συμβῶμεν ἀλλήλοις πνευματικῶς. γενώμεθα φιλάδελφοι μᾶλλον ἢ φίλαυτοι. δότε τὴν δύναμιν τῆς θεότητος, καὶ δώσομεν ὑμῖν τῆς φωνῆς τὴν συγχώρησιν. ὁμολογήσατε τὴν φύσιν ἐν ἄλλαις φωναῖς,

αἷς

οἷς αἰδεῖσθε μᾶλλον, καὶ ὡς ἀσθενεῖς ὑμᾶς ἰατρεύσομεν. ἔστιν ἃ καὶ τῶν πρὸς ἡδονὴν παρακλέψαντες. Αἰσχρὸν μὲν γάρ, αἰσχρὸν καὶ ἱκανῶς ἄλογον, κατὰ ψυχὴν ἐρρωμένους, μικρολογεῖσθαι περὶ τὸν ἦχον, καὶ κρύπτειν τὸν θησαυρόν, ὥσπερ ἄλλοις βασκαίνοντας, ἢ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσαντε δεδοικότας. αἴσχιον δὲ ἡμῖν ὃ ἐγκαλοῦμεν παθεῖν, καὶ μικρολογίαν καταγινώσκοντας, αὐτοὺς μικρολογεῖσθαι περὶ τὰ γράμματα. μιᾶς θεότητος, ὦ οὗτοι, τὴν τριάδα ὁμολογήσατε. εἰ δὲ βούλεσθε μιᾶς φόσεως, καὶ τὴν θεὸς φωνὴν παρὰ τοῦ πνεύματος ὑμῖν αἰτήσομεν δώσει γάρ, εὖ οἶδα, ὁ τὸ πρῶτον δοὺς καὶ τὸ δεύτερον. καὶ μάλιστα εἰ δειλία τις εἴη πνευματικὴ μὴ ἔνστασις διαβολικὴ τὸ μαχόμενον. ἔτι σαφέστερον εἴπω, καὶ συντομώτερον. Μήτε ἡμᾶς εὐθύνητε ὑψηλοτέρας φωνῆς. φθόνος γὰρ οὐδεὶς ἀναβάσεως. οὔτε ἡμεῖς τὴν ἐφικτὴν τέως ἡμῖν ἐγκαλέσομεν, ἕως ἂν καὶ δι' ἄλλης ὁδοῦ πρὸς τὸ αὐτὸ φέρησθε καταγώγιον. οὐ γὰρ νικῆσαι ζητοῦμεν, ἀλλὰ προσλαβεῖν ἀδελφούς, ὧν τῷ χωρισμῷ

ἐπαρασσόμεθα. ταῦτα ἡμῖν παρ' οἷς τι καὶ ζωτικὸν εὑρίσκομεν τοῖς περὶ τὸν υἱὸν ὑγιαίνουσιν, ὧν τὸν βίον θαυμάζοντες, οὐκ ἐπαινοῦμεν τὸν λόγον. οἱ τὰ τοῦ πνεύματος ἔχοντες, καὶ τὸ πνεῦμα προσλάβετε ἵνα μὴ ἀθλῆτε μόνον, ἀλλὰ καὶ νομίμως, ἐξ οὗ καὶ ὁ στέφανος. οὗτος ἡμῖν δοθείη τῆς πολιτείας μισθὸς, ὁμολογῆσαι τὸ πνεῦμα τελείως. καὶ κηρύξαι σὺν ἡμῖν. τὲ καὶ περὶ ἡμῶν ὅσον ἄξιον. τολμῶ τι καὶ μεῖζον ὑπὲρ ὑμῶν, τὸ τοῦ ἀποστόλου φθέγξασθαι. τοσοῦτον ὑμῶν περιέχομαι καὶ τοσοῦτον ὑμῶν αἰδοῦμαι, τὸ εὔκοσμον ταύτην στολὴν, καὶ τὸ χρῶμα τῆς ἐγκρατείας, καὶ τὰ ἱερὰ ταῦτα συστήματα, καὶ τὴν σεμνὴν παρθενίαν, καὶ κάθαρσιν, καὶ τὴν πάννυχον ψαλμῳδίαν, καὶ τὸ φιλόπτωχον, καὶ φιλάδελφον, καὶ φιλόξενον, ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ χριστοῦ καὶ παθεῖν τι ὡς κατάκριτος δέχομαι, μόνον εἰ σταίητε μεθ' ἡμῶν, καὶ κοινῇ τὴν τριάδα δοξάσαιμεν.

Περὶ γὰρ τῶν ἄλλων τί χρὴ καὶ λέγειν σαφῶς τεθνηκότων;

οὓς Χριστοῦ μόνου ἐγεῖραι τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, κατὰ τὴν αὐτοῦ δύναμιν; οἱ κακῶς τῷ τρόπῳ χωρίζονται, τῷ λόγῳ συνδεδεμένοι. καὶ τοσοῦτον πρὸς ἀλλήλους ζυγομαχοῦσιν, ὅσον ὀφθαλμοὶ διάστροφοι τὸ ἓν βλέποντες, καὶ οὐ τῇ ὄψει, τῇ θέσει δὲ στασιάζοντες. Εἴγε καὶ τὴν διαστροφὴν αὐτοῖς ἐγκλητέον, ἀλλὰ μὴ τύφλωσιν. Ἐπεὶ δὲ μετρίως ἐθέμην ταῦτα πρὸς ὑμᾶς, φέρε καὶ πρὸς τὸ πνεῦμα πάλιν ἐπανέλθωμεν.

Οἶμαι δὲ καὶ ὑμεῖς ἤδη συνέψεσθαι τὸ πνεῦμα τὸ ἅγιον ἦν μὲν ἀεί, καὶ ἔστι, καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ πατρὶ καὶ υἱῷ συντεταγμένον καὶ συναριθμούμενον. οὐδὲ γὰρ ἔπρεπεν ἐλλείπειν ποτὲ ἢ υἱὸν πατρὶ, ἢ πνεῦμα υἱῷ. ὡς μεγίστῳ γὰρ ἦν ἄδοξος ἡ θειότης ὥσπερ ἐκ μεταμελείας ἐλθοῦσα εἰς συμπλήρωσιν τελειότητος. Ἦν οὖν ἀεὶ μεταληπτὸν οὐ μεταληπτικόν. Τελειοῦν, οὐ τελειούμενον, πληροῦν οὐ πληρούμενον, ἁγιάζον οὐχ ἁγιαζόμενον. θεοῦν οὐ θεούμενον. αὐτὸ ἑαυτῷ ταὐτὸν ἀεὶ, καὶ οἷς συντέτακται

ἀόρα-

ρητον, ἀναλλοίωτον, ἄποιον, ἀνείδεον, ἀναφὲς, αὐτοκίνητον, ἀεικίνητον, αὐτεξούσιον, αὐτοδύναμον, παντοδύναμον, εἰ καὶ πρὸς τὴν πρώτην αἰτίαν ὥσπερ τὰ τοῦ μονογενοῦς ἅπαντα, οὕτω δὲ καὶ τὰ τοῦ πνεύματος ἀναπέμπεται. ζωὴ καὶ ζωοποιὸν, φῶς καὶ χορηγὸν φωτὸς, αὐτοάγαθον, καὶ πηγὴ ἀγαθότητος, πνεῦμα εὐθὲς, ἡγεμονικὸν, κύριον, ἀποστέλλον, ἀφορίζον, ναοποιοῦν ἑαυτῷ, ὁδηγοῦν, ὡς βούλεται, διαιροῦν χαρίσματα, πνεῦμα υἱοθεσίας, ἀληθείας, σοφίας, συνέσεως, γνώσεως, εὐσεβείας, βουλῆς, ἰσχύος, φόβου τῶν ἀπηριθμημένων δι' οὗ πατὴρ γινώσκεται, καὶ υἱὸς δοξάζεται. καὶ παρ' ὧν μόνων γινώσκεται μία σύνταξις, λατρεία μία, προσκύνησις δύναμις τελειότης, ἁγιασμός. Τί μοι μακρολογεῖν; πάντα ὅσα ὁ πατὴρ τοῦ υἱοῦ, πλὴν τῆς ἀγεννησίας, πάντα ὅσα ὁ υἱὸς, τοῦ πνεύματος πλὴν τῆς γεννήσεως. ταῦτα δὲ οὐκ οὐσίας ἀφορίζει κατά γε τὸν ἐμὸν λόγον, περὶ οὐσίαν δὲ ἀφορίζεται. ὠδίνεις τὰς ἀντιθέσεις, ἐγὼ

δὲ τοῦ λόγου τὸν δρόμον. Τίμησον τὴν ἡμέραν τοῦ πνεύματος, ἐπίσχε μικρὸν τὴν γλῶτταν εἰ δυνατόν. Ἐπ' ἄλλων γλωσσῶν ὁ λόγος, ταύτας αἰδέσθητι ἢ φοβήθητι, μετὰ πυρὸς ὁρωμένας. σήμερον δογματίσωμεν, αὔριον τεχνολογήσωμεν. σήμερον ἑορτάσωμεν αὔριον ἀσχημονήσωμεν. ταῦτα μυστικῶς, ἐκεῖνα θεατρικῶς. Ταῦτα, ταῖς ἐκκλησίαις, ἐκεῖνα ταῖς ἀγοραῖς, ταῦτα τοῖς νήφουσιν, ἐκεῖνα τοῖς μεθύουσι, ταῦτα σπουδαζόντων, ἐκεῖνα παιζόντων κατὰ τοῦ πνεύματος. Ἐπεὶ δὲ ἀπεσκευασάμεθα τὸ ἀλλότριον, φέρε καταρτύσωμεν τὸ ἡμέτερον.

Τοῦτο ἐνήργει πρότερον μὲν ἐν ταῖς ἀγγελικαῖς καὶ οὐρανίαις δυνάμεσι, καὶ ὅσαι πρῶται μετὰ θεὸν καὶ περὶ θεόν. οὐ γὰρ ἄλλοθεν αὐταῖς ἡ τελείωσις, καὶ ἡ ἔλλαμψις, καὶ τὸ πρὸς κακίαν δυσκίνητον, ἢ ἀκίνητον, ἢ παρὰ τοῦ ἁγίου πνεύματος. Ἔπειτα ἐν τοῖς πατράσι, καὶ ἐν τοῖς προφήταις, ὧν οἱ μὲν ἐφαντάσθησαν, θεὸν ἢ ἔγνωσαν, οἱ δὲ καὶ τὸ μέλλον προέγνωσαν. τυπούμενοι τῷ πνεύματι τὸ ἡγεμονικόν, καὶ

ὡς παροῦσι συνόντες τοῖς ἐσομένοις, τοιαύτη γάρ ἡ τοῦ πνεύματος δύναμις. ἔπειτα ἐν τοῖς Χριστοῦ μαθηταῖς. Ἐῶ γὰρ Χριστὸν εἰπεῖν, ᾧ παρῆν, οὐχ ὡς ἐνεργοῦν, ἀλλ᾽ ὡς ὁμοτίμῳ συμπαρομαρτοῦν. καὶ τούτοις τρισσῶς, καθ᾽ ὅσον οἷοί τε ἦσαν χωρεῖν, καὶ κατὰ καιροὺς τρεῖς, πρὶν δοξασθῆναι Χριστὸν τῷ πάθει, μετὰ τὸ δοξασθῆναι τῇ ἀναστάσει, μετὰ τὴν εἰς οὐρανοὺς ἀνάβασιν, ἢ ἀποκατάστασιν, ἢ ὅ τι χρὴ λέγειν. Δηλοῖ δὲ ἡ πρώτη τῶν νόσων καὶ ἡ τῶν πνευμάτων κάθαρσις, οὐκ ἄνευ πνεύματος δηλαδὴ γενομένη, καὶ τὸ μετὰ τὴν οἰκονομίαν ἐμφύσημα, σαφῶς ὂν ἔμπνευσις θειοτέρα, καὶ ὁ νῦν μερισμὸς τῶν πυρίνων γλωσσῶν, ὃ καὶ πανηγυρίζομεν. ἀλλὰ τὸ μὲν πρῶτον ἀμυδρῶς, τὸ δὲ δεύτερον ἐκτυπώτερον, τὸ δὲ νῦν τελειότερον, οὐκ ἔτι ἐνεργείᾳ παρὸν ὡς πρότερον, οὐσιωδῶς δὲ ὡς ἂν εἴποι τις συγγινόμενόν τε καὶ συμπολιτευόμενον. ἔπρεπε γὰρ υἱοῦ σοματικῶς ἡμῖν ὁμιλήσαντος, καὶ αὐτὸ φανῆναι σωματικῶς, καὶ Χριστοῦ

πρὸς ἑαυτὸν ἐπανελθόντος, ἐκεῖνο πρὸς ἡμᾶς κατελθεῖν. ἐρχόμενον μὲν ὡς κύριον, πεμπόμενον δὲ ὡς οὐκ ἀντίθεον. Αἱ γὰρ τοιαῦται φωναὶ, οὐχ ἧττον τὴν ὁμόνοιαν δηλοῦσιν, ἢ φύσιν χωρίζουσιν. διὰ τοῦτο μετὰ χριστὸν μὲν, ἵνα παράκλητος ἡμῖν μὴ λείπῃ, ἄλλος δὲ ἵνα σὺ τὴν ἰσοτιμίαν ἐνθυμηθῇς. τὸ γὰρ ἄλλος, ἄλλος ἐγὼ καθίσταται. τοῦτο δὲ συνδεσποτείας, ἀλλ' οὐκ ἀτιμίας ὄνομα. τὸ γὰρ ἄλλος οὐκ ἐπὶ τῶν ἀλλοτρίων, ἀλλ' ἐπὶ τῶν ὁμουσίων οἶδα λεγόμενον.

Ἐν γλώσσαις δὲ διὰ τὴν πρὸς τὸν λόγον οἰκείωσιν. πυρίναις δὲ ζητῶ πότερον, διὰ τὴν κάθαρσιν; οἶδε γὰρ ὁ λόγος ἡμῶν, καὶ πῦρ καθαρτήριον, ὡς πολλαχόθεν βουλομένοις ὑπάρχει μαθεῖν, ἢ διὰ τὴν οὐσίαν; πῦρ γὰρ ὁ θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν. κἂν πάλιν ἀγανακτῇς τῷ ὁμουσίῳ στενοχωρούμενος. μεριζομέναις δὲ διὰ τὸ τῶν χαρισμάτων διάφορον. καθεζομέναις δὲ διὰ τὸ βασιλικὸν καὶ τὴν ἐν τοῖς ἁγίοις

ἀνά-

ἀνάπαυσιν. ἐπεὶ καὶ θεοῦ θρόνος τὰ χερουβὶμ. ἐν ὑπερώῳ δὲ, εἰ μή τῳ περιεργότερος εἶναι δοκῶ τοῦ δέοντος, ἀλλὰ τὴν ἀνάβασιν τῶν δεξομένων καὶ τὴν χαμόθεν ἔπαρσιν. ἐπεὶ καὶ ὕδασι θείοις ὑπερῷά τινα στεγάζεται, δι' ὧν ὑμνεῖται θεὸς. καὶ Ἰησοῦς αὐτὸς ἐν ὑπερώῳ τοῦ μυστηρίου κοινωνεῖ, τοῖς τὰ ὑψηλότερα τελουμένοις, ἵνα ἐκεῖνο παραδειχθῇ, ὅτι τὸ μέν τι καταβῆναι δεῖ θεὸν πρὸς ἡμᾶς ὃ καὶ πρότερον ἐπὶ μωυσέως οἶδα γενόμενον, τὸ δὲ ἡμᾶς ἀναβῆναι, καὶ οὕτω γενέσθαι κοινωνίαν θεοῦ πρὸς ἀνθρώπους τῆς ἀξίας συγκιρναμένης. ἕως δ' ἂν ἑκάτερον ἐπὶ τῆς ἰδίας μένῃ, τὸ μὲν περιωπῆς, τὸ δὲ ταπεινώσεως. ἄμικτος ἡ ἀγαθότης, καὶ τὸ φιλάνθρωπον ἀκοινώνητον. καὶ χάσμα ἐν μέσῳ μέγα. καὶ ἀδιάβατον οὐ τὸν πλούσιον τοῦ λαζάρου μόνον, καὶ τῶν ὀρεκτῶν Luc. 16. 26.
ἀβραὰμ κόλπον διεῖργον ἀλλὰ δὲ γεννητὴν φύσιν, καὶ ῥέουσαν τῆς ἀγενήτου, καὶ ἑστηκυίας.

Τοῦτο ἐκηρύχθη μὲν ὑπὸ προφη-

Esa.61. ,, τῶν ὡς εὔ: τὸ πνεῦμα κυρίου ἐπ' ἐμέ,
1. ,, καὶ, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ
Esa.11. ,, πνεύματα, καὶ, κατέβη πνεῦμα κυρίου,
2. ,, καὶ ὡδήγησεν αὐτούς. πνεῦμα ἐπιστή-
Es.63. 14. ,, μης ἐμπλῆσαι Βεσελεὴλ τὸν ἀρχιτέ-
Ex.31. 3. ,, κτονα τῆς σκηνῆς καὶ, πνεῦμα παροξυνό-
Act.17. 16. ,, μενον, καὶ, πνεῦμα ἐξᾶραν ἠλίαν ἐν ἅρ-
2.Reg. ,, ματι, καὶ ζητηθὲν παρὰ Ἐλισσαίου δι-
2.9. πλάσιον. καὶ πνεύματι ἀγαθῷ καὶ ἡγε-
μονικῷ. Δαβὶδ ὁδηγούμενός τε καὶ στη-
Psal.51. ριζόμενος. Ἐπηγγέλθη δὲ ὑπὸ μὲν Ἰω-
14. ,, ὴλ πρότερον, καὶ ἔσται ταῖς ἐσχάταις
Joel.11. ,, ἡμέραις λέγοντος: Ἐκχεῶ ἀπὸ τοῦ πνεύ-
28. ,, ματός μου ἐπὶ πᾶσαν σάρκα. δηλάδη
,, τὴν πιστεύουσαν, καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν,
,, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν, καὶ τὰ
ἑξῆς. ὑπὸ δὲ υἱοῦ καὶ ὕστερον δοξαζομένου
τε καὶ ἀντιδοξάζοντος, ὡς τὸν πατέρα καὶ
ὑπὸ τοῦ πατρὸς, καὶ ἡ ἐπαγγελία ὡς δι-
πλῆς; Συνδιαιωνίσειν, καὶ συμπαρα-
μενεῖν, εἴτ' οὖν νῦν τοῖς κατὰ καιρὸν ἀξίοις,
εἴτε ὕστερον τοῖς τῶν ἐκεῖσε ἀξιουμένοις. ὅταν
ὁλόκληρον αὐτὸ τῇ πολιτείᾳ φυλάξω-

μεν

μεν, ἀλλὰ μὴ τοσοῦτον ἀποβάλωμεν,
καθ' ὅσον ἂν ἁμαρτάνωμεν.

Τοῦτο τὸ πνεῦμα συνδημιουργεῖ μὲν υἱῷ καὶ τὴν κτίσιν, καὶ τὴν ἀνάστασιν.
„ καὶ πειθέτω σε τὸ, λόγῳ κυρίου οἱ οὐρανοὶ Psal. 33.
„ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόμα- 6.
„ τος αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν,
„ πνεῦμά τε θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ Iob. 33.
„ παντοκράτορος ἡ διδάσκουσά με. καὶ 4.
„ πάλιν, ἐξαποστελεῖς τὸ πνεῦμά σου καὶ Ps. 104.
„ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρό- 30.
„ σωπον τῆς γῆς. δημιουργεῖ τὴν πνευματικὴν ἀναγέννησιν. καὶ πειθέτω σε, τὸ μηδένα δύνασθαι τὴν βασιλείαν ἰδεῖν ἢ λαβεῖν, ὅστις μὴ ἄνωθεν ἐγεννήθη πνεύματι, καὶ τὴν προτέραν ἐκαθαρίσθη γέννησιν, ἢ νυκτός ἐστι μυστήριον, ἡμερινῇ καὶ φωτεινῇ διαπλάσει, ἣν καθ' ἑαυτὸν ἕκαστος διαπλάττεται.

Τοῦτο τὸ πνεῦμα σοφώτατον γὰρ, καὶ
φιλανθρωπότατον, ἂν ποιμένα λάβῃ, 1. Sam.
ψάλτην ποιεῖ, πνευμάτων πονηρῶν κατεπά- 16.23.
δοντα, καὶ βασιλέα τοῦ Ἰσραὴλ ἀναδείκνυ-

Am.1.1. σιν. ἐὰν αἰπόλον συκάμινα κνίζοντα
προφήτην ἐργάζεται. τὸν Δαβὶδ καὶ τὸν
Dan. 13 Ἀμῶς ἐνθυμήθητι. ἐὰν μειράκιον εὐφυὲς
45. λάβῃ, πρεσβυτέρων ποιεῖ κριτὴν καὶ
Dan. 6. παρ' ἡλικίαν. Μαρτυρεῖ Δανιὴλ ὁ νική-
23. σας ἐν λάκκῳ λέοντας, ἐὰν ἁλιέας εὕρῃ
σαγηνεὺς Χριστῷ κόσμον ὅλον τῇ τοῦ λό-
γου πλοκῇ συλλαμβάνοντας. Πέτρον λά-
Marc. 3 βε μοι, καὶ Ἀνδρέαν καὶ τοὺς υἱοὺς τῆς βρον-
17. τῆς, τὰ πνευματικὰ βροντήσαντας. Ἐὰν
τελώνας εἰς μαθητείαν κερδαίνει, καὶ ψυ-
Mat. 9. χῶν ἐμπόρους δημιουργεῖ. φησὶ Ματθαῖ-
9. ος ὁ χθὲς τελώνης, καὶ σήμερον εὐαγγελι-
στής. ἐὰν διώκτας θερμοὺς τὸν ζῆλον με-
Act. 9. ταπίθησι, καὶ ποιεῖ παύλους ἀντὶ σαύλων
4. καὶ τοσοῦτον εἰς εὐσέβειαν, ὅσον εἰς κα-
κίαν κατέλαβε, τοῦτο καὶ πνεῦμα ἐστὶ
πραότητος καὶ παροξύνεται τοῖς ἁμαρ-
τάνουσι.

Τοιγαροῦν πειραθῶμεν ὡς πρᾶ-
οι, καὶ μὴ ὀργίλου τὴν ἀξίαν ὁμολογοῦντες,
καὶ τὸ βλάσφημον φεύγοντες. καὶ μὴ βου-
ληθῶμεν ἰδεῖν ὀργιζόμενον ἀσυγχώρητα-

τοῦ-

τοῦτο χαρᾷ με ποιεῖ, σήμερον ὑμῖν τολμηρὸν
κήρυγμα. εἰ μὲν οὐδὲν πεισόμενον, τῷ θεῷ
χάρις. εἰ δὲ πεισόμενον καὶ οὕτω χάρις.
τὸ μὲν ἵνα φείσηται τῶν μισούντων ἡ-
μᾶς, τὸ δὲ ἵν' ἡμᾶς ἁγιάσῃ μισθὸν
τοῦτο λαβόντας τῆς ἱερουργίας εὐαγγελί-
ου, τὸ τελειωθῆναι δι' αἵματος. Ἐ-
λάλουν μὲν οὖν ξέναις γλώσσαις, ἢ
οὐ πατρίαις καὶ τὸ θαῦμα μέγα. λό-
γος ὑπὸ τῶν οὐ μαθόντων λαλούμενος,
καὶ τὸ σημεῖον τοῖς ἀπίστοις, οὐ τοῖς
πιστεύουσιν ἵν' ᾖ τῶν ἀπίστων κατήγο-
,, ρον, καθὼς γέγραπται: ἐν ἑτερογλώσ- Esa. 28.
,, σοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ 11
,, λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσον-
,, ταί μου, λέγει κύριος. Ἤκουον δὲ·
μικρὸν ἐνταῦθα ἐπίσχε καὶ διαπόρη-
σον, πῶς διαιρήσεις τὸν λόγον. Ἔ-
χει γάρ τι ἀμφίβολον, ἡ λέξις τῇ στι-
γμῇ διαιρούμενον. ἆρα γὰρ ἤκουον ταῖς
ἑαυτῶν διαλέκτοις ἕκαστοι, ὡς φέρε εἰ-
πεῖν μίαν μὲν ἐξηχεῖσθαι φωνήν, πολ-
λὰς δὲ ἀκούεσθαι οὕτω κτυπουμένου τοῦ

ἀέρος; καὶ ἵν' εἴπω σαφέστερον, τῆς φω-
νῆς φωνῶν γινομένων; ἢ τὸ μὲν, ἤκουον, ἀνα-
παυστέον, τὸ δὲ, λαλούντων ταῖς ἰδίαις
φωναῖς, τῷ ἑξῆς προσθετέον, ἵν' ᾖ λα-
λούντων φωναῖς, ταῖς ἰδίαις τῶν ἀκου-
όντων, ὅπερ γίνεται ἀλλοτρίαις. καθὸ
καὶ μᾶλλον τίθεμαι. ἐκείνως μὲν γὰρ τῶν
ἀκουόντων, ἂν εἴη μᾶλλον ἢ τῶν λεγόντων
τὸ θαῦμα, οὕτω δὲ τῶν λεγόντων, οἱ καὶ
μέθην καταγινώσκονται. Δῆλον ὡς αὐτοὶ
θαυματουργοῦντες περὶ τὰς φωνὰς τῷ
πνεύματι. πλὴν ἐπαινετὴ μὲν καὶ ἡ πα-
λαιὰ διαίρεσις τῶν φωνῶν. ἡνίκα τὸν
Gen. 11. 1. πύργον ᾠκοδόμουν οἱ κακῶς καὶ ἀθέως
ὁμοφωνοῦντες, ὥσπερ καὶ τῶν νῦν τολμῶ-
σί τινες. Τῇ γὰρ τῆς φωνῆς διαστάσει
συνδιαλυθὲν τὸ ὁμόγνωμον τὴν ἐγχείρη-
σιν ἔλυσεν. ἀξιεπαινοτέρα δὲ ἡ νῦν θαυμα-
τουργουμένη, ἀπὸ γὰρ ἑνὸς πνεύματος
εἰς πολλοὺς χυθεῖσα, εἰς μίαν ἁρμονίαν πά-
λιν συνάγεται. καὶ ἔστι διαφορὰ χαρισ-
μάτων ἄλλου δεομένη χαρίσματος, πρὸς
διάκρισιν τῆς βελτίονος, ἐπειδὴ πᾶ-

σαι

σαι τὸ ἐπαινετὸν ἔχουσι. καλὴ δ' ἂν κἀκείνη λέγοιτο περὶ ἧς Δαβὶδ λέγει,
„ καταπόντισον κύριε καὶ καταδίελε Pſ. 55. 10.
„ τὰς γλώσσας αὐτῶν. Διὰ τί; ὅτι ἠγάπησαν πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν μονονοὺ φανερῶς τῆς ἐνταῦθα γλώσσας καταιπώμενος αἱ θεότητα τέμνουσι. Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον.

Ἐπεὶ δὲ τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ εὐλαβεστάτοις Ἰουδαίοις, πάρθοις, καὶ μήδοις, καὶ Ελαμίταις, αἰγυπτίοις, καὶ λίβυσι, κρησί τε, καὶ ἄραψι, μεσοποταμίταις τε καὶ τοῖς ἐμοῖς καππαδόκαις, ἐλάλουν αἱ γλῶσσαι, καὶ τοῖς ἐκ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανὸν, ἰουδαίοις. εἴτω φίλον οὕτω νοεῖν, ἐκεῖσε συνειλεγμένοις ἄξιον ἰδεῖν τίνες ἦσαν οὗτοι, καὶ τῆς ποίας αἰχμαλωσίας. ἡ μὲν γὰρ εἰς αἴγυπτον καὶ βαβυλῶνα, περίγραπτός τε ἦν, καὶ πάλαι τῇ ἐπανόδῳ λέλυτο. ἡ δὲ ὑπὸ ῥωμαίων, οὔπω γεγένητο, ἔμελλε δὲ, εἰς πράξις οὖσα τῆς κατὰ τοῦ σαυροῦ θρασύτη-

σύτητος. λείπεται δὴ τὴν ὑπ' ἀντιόχου ταύτην ὑπολαμβάνειν. οὐ πολὺ τούτων οὖσαν τῶν ἐτῶν πρεσβυτέρων. εἰ δέ τισι ταύτην μὲν οὐ προσίεται τὴν ἐξήγησιν ὡς περιεργοτέραν, οὔτε γὰρ παλαιὰν εἶναι τὴν αἰχμαλωσίαν οὔτ' ἐπὶ πολὺ τῆς οἰκουμένης χυθεῖσαν, ζητεῖ δὲ τὴν πιθανωτέραν: ἐκείνως ἴσως ὑπολαβεῖν ἄμεινον, ὅτι πολλάκις καὶ ὑπὸ πλειόνων τοῦ ἔθνους μεταναστάντος ὡς τῷ Ἔσδρᾳ ἱστόρηται, αἱ μὲν τῶν φυλῶν ἀνεσώθησαν, αἱ δὲ ὑπελείφθησαν. ὧν εἰκὸς διασπαρεισῶν, εἰς ἔθνη πλείονα τηνικαῦτα παρεῖναί τινας, καὶ μετέχειν τοῦ θαύματος. καὶ ταῦτα προεξητάσθαι τοῖς φιλομαθέσιν, ἴσως οὐ περιέργως καὶ ὅτι αὖ συμφέρῃ τις εἰς τὴν παροῦσαν ἡμέραν, καὶ ἡμῖν τοῦτο ἔσαι σιωφλοχὼς. ἡμῖν δὲ τὸν μὲν σύλλογον ἤδη διαλυτέον, ἱκανὸς γὰρ ὁ λόγος. τὴν δὲ πανήγυριν οὐδέποτε, ἀλλ' ἑορταστέον, νῦν μὲν καὶ σωματικῶς, μικρὸν δὲ ὕστερον ὅλον πνευματικῶς. ἔνθα καὶ τοὺς λόγους τούτων εἰσόμεθα καθαρώτερον καὶ σαφέστερον,

ἐν

ἐν αὐτῷ τῷ λόγῳ, καὶ Θεῷ καὶ Κυρίῳ ἡμῶν
ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ,
τῇ ἀληθινῇ τῶν σωζομένων ἑορτῇ, καὶ ἀ-
γαλλιάσει, μεθ' οὗ ἡ δόξα καὶ τὸ σέβας
τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι, νῦν
καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-574221-p0034-9

97179

X2359442

ULB Halle 3
007 106 378

VD17

9*

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-574221-p0035-5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-574221-p0036-1

# GREGORII NAZIANZENI De SANCTA PENTECOSTE Oratio

IN

*USUM SCHOLÆ*

Hannoveranæ.

*Rintelij,*
Typis exſcripſit Petrus Lucius, Typ. Acad.
Sumtu Chriſtophori Vlrichs Bibl. Hannoverani,
Anno 1643.

5

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-574221-p0037-6